UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Eidem. 16.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

πεϋμένον. καί τι τῷ ὑπηκόῳ παραβάλλω τὸν ὑφηγητήν, ὁπότε ὅλου τοῦ λαοῦ ἀντίρροπον ἔφη εἶναι τὸ τοῦ ἀρχιερέως πταῖσμα ὁ νομοθέτης, καὶ τοσαύτην ἐθέσπισεν αὐτὸν προσενεγκεῖν θυσίαν, ὅσην ἂν ὁ λαὸς ἅπας εἰ πλημμελήσειε, προσενεγκεῖν προστέτακται. εἰ δὲ μὴ ἴσον ἦν μηδ' ἀντίρροπον τὸ τραῦμα, οὐκ ἂν ἀντίπαλον ὥρισε τὴν θεραπείαν.

Τῷ αὐτῷ. ις.

Νόμος οὗτος καὶ θεσμὸς περὶ τῆς θείας φύσεως νενίκηκε, πρὸς μὲν τὴν ἀξίαν αὐτῇ τὰς τιμὰς παρὰ τοῦ γεννητοῦ γένους μὴ νέμεσθαι. οὐδὲ γὰρ οἷόν τε. τῇ δὲ τῶν συντελούντων δυνάμει τὴν εὐσέβειαν μετρεῖσθαι. μηδεὶς τοιγαροῦν τῶν πενίᾳ παλαιόντων ἀλυέτω, ἀλλὰ μᾶλλον εὐφραινέσθω. ὃ γὰρ μόνον ἡ θεία φύσις ἐπιζητεῖ, τοῦτο δ' ἐστὶν ἀρετή, μάλιστα πάντων προσαγαγεῖν δυνήσεται.

Θεοδοσίῳ Ἐπισκόπῳ. ιζ.

Τὸ μὲν τοῖς γηΐνοις πράγμασιν ἐγκαλινδούμενον χρηματίζεσθαι Εὐσέβιον, τὸν τῆς ἀκτημοσύνης ὑφηγητήν, καὶ τῶν οὐρανίων δογμάτων ἐξηγητήν δεινόν, οὐ δεινὸν εἶναι δοκεῖ, οὐκ οἶδ' ὅπως. τὸ δὲ νῦν μηνυθὲν μὲν παρὰ σοῦ, παρὰ δὲ πολλῶν ἀξιοπίστων ἀνδρῶν μαρτυρούμενον. ἄπιστον δ' ἴσως τοῖς μεθ' ἡμᾶς ὀφθησόμενον, ὑπερβολὴν οὐκ ἔχει. τίς γὰρ ἐθελήσει ῥᾳδίως πιστεῦσαι, ὅτι τοὺς μὲν ἀκτημοσύνην ἀσκοῦντας, καὶ τῇ ἄλλῃ φιλοσοφίᾳ διαλάμποντας, ἅτε λυσιτελεῖν αὐτῷ πρὸς χρηματισμὸν μὴ δυναμένους, ἀχρήστους ὑπολαμβάνων, ἀτιμάζει, καὶ ἱερωσύνης οὐκ ἀξιοῖ. τοὺς δὲ πλουσίους διὰ τὸ δρέπεσθαι αὐτῶν τὸν πλοῦτον, εἰς ἱερωσύνην προφέρει, κἂν ἁπάσης κακίας εἶεν ἀνάπλεοι, οὐ τῇ ἀρετῇ, τῷ δὲ πλούτῳ χρεωστεῖσθαι τὴν ἱερουργίαν οἰόμενος. ἐχρῆν μὲν οὖν, ὡς ἔφης, τοὺς τούτοις μὴ ἁλόντας τοῖς πάθεσι, τὴν δέουσαν θεραπείαν ἐπινοῆσαι.

ad eius, qui illud perpetrauit, dignitatē perpendatur. Quid autem magistrum & antistitem eum subdito comparo: cùm Legislator Pontificis peccatum totius populi peccato par esse dixerit, tantúmque ab ipso sacrificium lege lata exegerit, quantum, si plebs vniuersa deliquisset, offerri præcepit? Quòd si æquale ac par vulnus non esset, haud parem certè medicinam minimè constituisset.

*Eidem. 16.*

Lex hæc & sanctio de diuina natura obtinuit, non vt ipsi pro ipsius dignitate ab humano genere honores tribuantur (neque enim id fieri potest,) verùm vt pietas, eorum, qui conferunt, potentia ponderetur. Quamobrem nemo ex iis qui paupertate conflictantur, mœsto animo sit: verùm potiùs lætetur. Nam quod solum diuina natura requirit (hoc autē potissimum virtus est) prorsus offerre poterit.

*Theodosio Episcopo. 17.*

Quòd Eusebius, voluntariæ paupertatis suasor, ac cælestium dogmatum interpres, in terrenis rebus infixus, congerendis pecuniis studeat, quamuis graue sit, haud tamen scio quonam pacto minimè graue esse videatur. Quod autem nūc abs te indicatum est, ac multorum fide dignorum virorum testimonio confirmatur, atque incredibile fortasse posteris videbitur, eiusmodi est, vt nihil atrocius fingi possit. Quis enim adduci facilè queat, vt credat eum illos quidem, qui paupertatem colunt, atque omni alio philosophiæ genere fulgent, vt qui ad quæstum faciendum haudquaquam ipsi vtiles sint, velut nullius vsus homines aspernari, sacerdotióque indignos iudicare, diuites cōtrà, quòd eorum opes demetat, quamuis etiam omni scelere coopertos ad sacerdotium proferre: perinde atque non virtuti, sed diuitiis sacerdotium deberi existimet. Ac quidem oportebat, vt scribis, eos, qui ab his vitiis remoti sunt, eā,